εἰκάζω δύο μίλια, τὸ μεταξὺ δὲ χάος.
μέσον δὲ ἵσταται λοιπὸν ἡ πανθαύμαστος πόλις
ὡς τράπεζα ἑξάγωνος μέσον εἰς πεδιάδα.
τὰ τείχη οὐρανοχάλκευτα, ἄνευ χειρῶν τμηθέντα.
μακρόθεν γοῦν ὡς ἔβλεψα καὶ εἶδον αὐτὴν ἐξαίφνης,
ἐξέστην πάνυ ἑαυτὸς ἱστάμενος θαυμάζειν.
περιπατήσας δὲ ὀλιγὸν εὗρον ὁδὸν ἀρχαίαν.
αὐτῆς δ' ἐπιλαβόμενος ὑπὸ κοχλίου ἀνιούσης,
εἰσήγαγέ με κύκλωθεν καὶ εὗρον ὡραίαν πύλην,
(ὦ φίλε, τίς ἀδακρυτὶ καὶ δίχα πάσης λύπης
τὴν θέσιν διηγήσεται τῶν στοῶν καὶ τῶν λίθων,
παμμήκων, παμμεγέθων τε, συναρμολογουμένων,
στοάς, πισσοὺς τετραγώνους καὶ κτίσιν θαυμασίαν;)
ἄνωθεν δὲ τὸν ὄροφον ναὸν ἐπιφερούσης
πανεπιτηδειότατον ὡς εἶδον ἐκ σχημάτων.
καὶ γὰρ ἀκμὴν συνίσταται ἄνω τὸ θεῖον βῆμα.
μόλις ποτὲ εἰς ἑαυτὸν ἐλθὼν ἀπὸ τῆς θέας,
εἰσῆλθον καὶ τῶν ἔσωθεν ἰδεῖν τοῖς ἐνδοτέροις.
εἶδον πεδίον πάντερπνον τέσσαρεις λόφους ἔχον,
ὕδατα παγγλυκύτατα, κήπους ἀρδευομένους,
πηγὰς εἰς ὄψιν βρύοντας, εὐάερον τὸν τόπον.
εἶδον ναοὺς ἐξαίρετους, ψωσιοεδαφομένους,
καὶ τρουλλωτὰ καὶ δρομικὰ καὶ στρογγυλὰ τῇ θέσει. fol. 156
τῆς δέ γε μητροπόλεως τις ἂν ἐκδιηγεῖται,
τῶν οἴκων δὲ τὰ σχήματα πῶς ἄν τις ἐξηγεῖται;
ὡς δὲ εἰσῆλθα εἰς τὸ κουλὰ καὶ εἶδα κτισμάτων θέσιν,
ναοὺς περικαλλεστάτους καὶ κάλλη παλατίων,
λελαξευμένων ταφων τε στοῶν καὶ κιονίων,
ἔτι γε μὴν καὶ πάσης τε ποικίλης ζωγραφίας,
εἶδον καὶ σώματα νεκρῶν καὶ πλήθη τῶν λειψάνων,
καὶ κάρας ἄνευ τῶν ὀστῶν, λείψανα δὲ σωρείας,
ἐστέναξα ὀδυνηρῶς ἐκ βάθους τῆς καρδίας·
« Οἴμοι, ψυχὴ ταλαίπωρε, πῶς οὐ πενθεῖς, ἀθλία,
καὶ τῶν μελλόντων μελετᾷς, καταφρονεῖς τῶν ὧδε; ».

Ἡ πόλις. « Ἕτερον δὲ πανθαύμαστον ἀναγγελῶ σοι, ξένε.
εὑρὼν δὲ κλίμακα στερρὰν αὐτοφυεῖ τῷ λίθῳ,
κατῆλθον κάτω μέσον γῆς καὶ εἶδον τῶν ἐκεῖσε
τὸ ἔδαφος καὶ ὄροφος αὐτοφυεῖ τῇ πέτρᾳ,

28 οὐρανοχάλκευτος in Cumanudis lexico. 31 ὀλιγόν: vulgariter cfr. 47 στρογγυλά. 32 χοκλίου V αὐτῆς scripsi] αὐτὴν V. 37 πισσούς i. e. πινσούς = pilas maiores, quae aedificium aliquod sustentant. 39 πανεπιτήδειος bis in Belthr. et Chrys. 46 ψωσιοεδαφομένους V: id est, quorum pavimentum musivo opere ornatum erat. Cfr. *Digen. Acrit.* (rec. Cryptensis) IV, 268 μεμουσιωμένος. 47 τρουλλωτός = in trulli formam aedificatus: δρομικός = speciem δρόμου habens, oblongus. 50 κολὰ in textu; in marg. vero κουλὰ V. Κουλὰ vel γουλὰ *arcem, turrim* significat: cfr. Ducangii Glossarium. 62 ὄροφος hic videtur neutrius generis: cfr. *Scriptores originum Cpolitanarum*, ed. Preger, I, p. 104, 5 ἀπὸ ὀρόφους.